Bisetvs. Νίκαρχος συκοφάντης Βοιωτῷ φάσιν ἀπειλήσας ὑπὸ Βοιωτοῦ, καὶ Δικαιοπόλιδος καὶ τοῦ χοροῦ ὑποσχήκῃ, καὶ παραίνεσιν ζημιοῦται, καὶ κολάζεται, καὶ φορτίων ἀλλαγῆς πεποιημένης, ἐπὶ δούλου ὤμων ἐπιτεθεὶς εἰς Βοιωτίαν ἀποφέρεται.

Νι. Ταυτὶ τίνος τὰ φορτί' ἐστί; Βοι. τῷδ' ἐμά,

Θείβαθεν ἴττω Ζεύς. Νικαρ. ἐγὼ τοίνυν γ' ὁδὶ

Φαίνω πολέμια ταῦτα. Βοι. τί δαὶ κακὸν παθών,

Ορναπετίοισι πόλεμον ἦρα καὶ μάχαν;

Νικαρ. Καὶ σέ γε φανῶ πρὸς τοῖσδε. Βοι. τί ἀδικειμένος;

Νικαρ. Εγὼ φράσω σοι τῶν περιεστώτων χάριν,

Εκ τῶν πολεμίων εἰσάγεις θρυαλλίδας.

Δικαιοπ. Επειτα φαίνεις δῆτα διὰ θρυαλλίδας;

Νι. Αὕτη γὰρ ἐμπρήσειεν ἂν τὸ νεώριον.

Δικ. Νεώριον θρυαλλίς; Νικ. οἶμαι. Δικ. τίνι τρόπῳ;

Νι. Ενθεὶς ἂν ἐς τίφην ἀνὴρ Βοιώτιος,

Αψας ἂν εἰσπέμψειεν ἐς τὸ νεώριον,

Δι' ὑδρορρόας βορέαν ἐπιτηρήσας μέγαν.

Κεἴπερ λάβοιτο τῶν νεῶν τὸ πῦρ ἅπαξ,

Σελαγοῖντ' ἂν αἱ νῆες. Δικ. ὦ κάκιστ' ἀπολούμενε;

Σελαγοῖντ' ἂν ὑπὸ τίφης τε καὶ θρυαλλίδος;

Νικ. Μαρτύρομαι. Δικ. ξυλλάμβαν' αὐτοῦ τὸ στόμα,

Δός μοι φορυτόν, ἵν' αὐτὸν ἐνδήσας φέρω,

Ὥσπερ κέραμον, ἵνα μὴ καταγῇ φερόμενος.

Χο. Ενδησον ὦ βέλτιστε τῷ ξένῳ καλῶς

Τὴν ἐμπολὴν οὕτως, ὅπως ἂν μὴ φέρων κατάξῃ.

Δικαιοπ. Εμοὶ μελήσει ταῦτ', ἐπεί τοι καὶ ψοφεῖ

Λάλον τι καὶ πυρορραγὲς, κἄλλως θεοῖσιν ἐχθρόν.

Χο. Τί χρήσεταί ποτ' αὐτῷ;

Δι. Πάγχρηστον ἄγγος ἔσται,

Ni. *Cuius sunt mercimonia hæc?* Boe. *mea quippe sunt,*

*Aduecta Thebis, nôrit Iuppiter.* Nic. *bona hæc*

*Hostilia sunt: ego quadruplor.* Dic. *quid hîc mali*

*Tibi obtigit, vt bellum suscipias contra aues?*

Nic. *Ego deferam te cum auibus.* Boe. *quid passus es iniuriæ?*

Ni. *Dicam tibi, horum spectatorum gratia,*

*Ex hostibus importas ad nos funalia.*

Boe. *Num deferas me propter hæc funalia?*

Ni. *Hoc vnicum facilè nauale incenderit.*

Boe. *Nauale ab vno funali?* Ni. *autumo.* Boe. *quomodo?*

Nic. *Quia si in frumentum ponat vir Bœotius,*

*Pòst apprehensum in nauale hûc immiserit,*

*Obseruato Aquilonis flatu, per aquæ tubos.*

*Tum si flamma ignis corripiat naues semel,*

*Mox vniuersæ luceant.* Di. *malè perdite,*

*An ex frumento & funali vno luceant?*

Nic. *Protestor hanc iniuriam.* Dic. *os ei comprime.*

*Da tortilem mihi funem, vt colligem, & velut*

*Quendam vrceum portem, ne rumpatur miser,*

*Dum geritur.* Ch. *colliga hospiti mercem hanc bene,*

*Mi amice, ne confringat gestitans mercem malignam.*

Dic. *Hæc res mihi curæ erit: quandoquidem tinnit hic*

*Quiddam streperum, & igni ruptum, & aliâs crudele Dijs.*

Ch. *Quem cedet huic in vsum?*

Di. *Ad omnia vtile hoc vas*

Biset. Τῷδ' ἐμά.] τοῦτο δεικτικῶς λέγεται. ἐμὰ τούτου, ἤγουν ἁπλῶς, ἐμοῦ τοῦ παρόντος. τὸ δὲ ἴττω δωρικῶς ἀντὶ τοῦ ἴστω, ἐκ τοῦ ἰσάτω, τρίτου προσώπου τοῦ προστακτικοῦ, παρὰ τὸ ἴσημι, τὸ ἐπίσταμαι ἰσάτω, καὶ κατὰ συγκοπὴν ἴστω καὶ τὸ σ εἰς τ ἐτράπη. τοῦτο καὶ ἄνω.

Σχ. Θείβαθεν ἴττω Ζεύς.] ἐκ τῆς Θήβης ἴστω ὁ Ζεύς. Ορναπετίοισιν.] ἀντὶ τοῦ ὀρνέοις. ὡς ἐπὶ ἐθνῶν δὲ λέξις. διὰ τί ὀρνέοις πόλεμον ποιεῖς, ὡσεὶ ἔλεγε Βοιωτοῖς. ἢ ἁπλῶς ἄλλοις.

Bisetvs. Τὸ δὲ ἦρω ἐστὶ β. πρόσωπον τοῦ α. ἀορίστου μέσου. αἴρω, ἀρῶ, ἦρα, ἠράμην, ἦρω, ἤρατο. τὸ δὲ αἴρειν, εἴτε αἴρεσθαι, εἴτε ἄρασθαι πόλεμόν τινι, ἀντὶ τοῦ κατά τινος πόλεμον ἀναδέχεσθαι, πόλεμον ἐπιφέρειν τινί. τὸ δὲ ἀδικειμένος Βοιωτικόν ἐστιν, ἀντὶ τοῦ ἠδικημένος, τοῦ η τραπέντος εἰς α μακρὸν, ἢ τῆς αὐξήσεως ἠμελημένης τὸ α βραχὺ. καὶ τῆς ει διφθόγγου τεθείσης ἀντὶ τοῦ η. οὕτω καὶ τὸ τέθεικα, ἀντὶ τοῦ τέθηκα βοιωτικῶς λέγεται.

Σχόλια. Τῶν περιεστώτων χάριν] οὐ γὰρ εἰς τὴν χάριν, ἀλλὰ τῶν παρόντων ὡς φιλόπολις. εἰς τὸ αὐτὸ ἰδίως φησὶ φράσω διὰ τοὺς παρεστῶτας. Θρυαλλίδας] διὰ τὰ ἐλλύχνια. ὡς ἀπορρύτου δὲ ὄντος τούτου δεινοῦ, εἰσφέρειν θρυαλλίδας εἰς τὰς Ἀθήνας. Ενθεὶς ἂν ἐς τίφην.] οἱ Ἀθηναῖοι τίφην καλοῦσι τὴν καλουμένην σίφην ἔστι δὲ ζῶον κανθαρῶδες. λέγει δὲ, ὅτι ἐκ ταύτης δήσας τις τὴν θρυαλλίδα ἡμμένην, εἰσπέμπει εἰς τὰ νεώρια, ἐπιτηρήσας βορέαν πνέοντα. καὶ οὕτω καύσει τὰς ναῦς. νεώριον δὲ καλεῖται ὁ τόπος ὁ περιέχων τὰ πλοῖα, ἡνίκα ἂν ἑλκυσθῶσιν. Εἰς τὸ αὐτό.] ἐμβαλὼν ἐνδήσας τὴν θρυαλλίδα εἰς τὴν σίλφην. Δι' ὑδρορρόας] διὰ στενοῦ τόπου. ὑδρορρόα καλεῖται τὸ μέρος τῆς στεφανίδος δι' οὗ τὸ ἀπὸ τοῦ ὄμβρου ὕδωρ συναγόμενον κατέρχεται. Κεἴπερ λάβοιτο.]